1.3.

29 *Αὐτοκράτορες Λέων καὶ Ἀνθέμιος ΑΑ. Ζήνωνι στρατηγῷ.* Οἱ ἐν τοῖς μοναστηρίοις διατρίβοντες μὴ ἐχέτωσαν ἐξουσίαν ἐξιέναι τῶν μοναστηρίων ἢ καὶ ἐν τῇ Ἀντιοχέων ἢ καὶ ἐν ἑτέραις πόλεσιν ἀναστρέφεσθαι, ὑπεξαιρουμένων μόνων τῶν καλουμένων ἀποκρισιαρίων, οἷς ἄδειαν παρέχομεν ἐθέλουσι διὰ μόνας ἀναγκαίας ἀποκρίσεις εἰσιέναι.
1 Καὶ οὗτοι δὲ αὐτοὶ οἱ ποιούμενοι τὰς εἰσόδους φυλαττέσθωσαν περὶ θρησκείας ἢ δόγματος διαλέγεσθαι, ἢ συμβουλαῖς τισι πρὸς στάσιν ἢ ταραχὴν ὁρώσαις τὰς ἁπλουστέρας ψυχὰς τοῦ δήμου παρατρέπειν· γινώσκοντες, ὡς ἀμελοῦντες τῶν προστεταγμένων παρὰ τῆς ἡμετέρας εὐσεβείας τῇ τῶν νόμων ὑποβληθήσονται αὐστηρίᾳ. *D. k. Iun. Constantinopoli Leone A.* IIII *et Probiano conss.* [*a.* 471]

id est:
*Impp. Leo et Anthemius AA. Zenoni duci.*

Iis, qui in monasteriis degunt, non liceat monasteriis egredi vel etiam in Antiochena aliisve civitatibus versari: exceptis solis apocrisiariis qui vocantur, quibus licentiam damus, si velint, propter necessarias tamen apocrises intrandi.
1 ¶ Atque hi ipsi qui ingrediuntur caveant, ne de religioso cultu vel dogmate disputent vel consiliis quae ad seditio nem vel tumultum tendant simpliciores populi animos pervertant, cum sciant, si nostrae pietatis iussa praetermiserint, legum severitati se subici.